*Ὅτι τί δή;*

*Σὺ μὲν ἃ ταράξειεν ἂν τὸν πρῶτον ἰόντα πρὸς τὸν λόγον ἐπεχείρησας ἰάσασθαι, τὰ δ' ἤδη κατανάλωται πάλαι πολλαῖς ἐτῶν περιόδοις· ὡς ταύταις ‹ταῖς› ἀπορίαις ἕωλά σοι τὰ ἰάματα.*

*Ταῦτ' οὖν, ἔφη, σοὶ τόδε ἴαμα· χρὴ μέντοι καθάπερ ὁδὸν θαρραλεωτάτην εἶναι τὴν συνηθεστάτην.*

**23** *Τὴν ἐναντίαν γάρ, εἶπον, προὐθέμην, ἥ φασιν Ἀννίκεριν τὸν Κυρηναῖον φιλοτιμηθῆναι πρὸς Πλάτωνά τε καὶ τοὺς ἑταίρους· τὸν μέν γε τὴν Κυρηναίων ἁρματηλασίαν ἐπιδεικνύντα πολλοὺς περὶ τὴν Ἀκαδημίαν ἐξελαύνειν δρόμους ἐπὶ τῆς αὐτῆς ἁρματοτροχιᾶς ἅπαντας μηδὲν παραβάντας, ὥσθ' ἑνὸς δρόμου σημεῖα κατὰ τῆς γῆς ὑπολείπεσθαι· τοὐμὸν δέ γε τὴν ἐναντίαν σπεύδει, τὰς ἁρματοτροχιὰς ἀλεείνειν, οὐ μάλα ῥᾴδιον ‹ὄν›, οἶμαι, καινουργεῖν ὁδοὺς τῶν τετριμμένων ἐκτρεπόμενον.*

*Ἀλλά τοι τὸ Παύσωνος, ἔφη, σοφόν.*

*Ποῖον; ἔφην, οὐ γὰρ ἀκήκοα.*

**24** *Παύσωνι τῷ ζωγράφῳ φασὶν ἐκδοθῆναι γράψαι ἵππον ἀλινδούμενον· τὸν δὲ γράψαι τρέχοντα καὶ πολὺν κονιορτὸν περὶ τὸν ἵππον. ὡς δ' ἔτι γράφοντος ἐπιστῆναι τὸν ἐκδόντα, μέμφεσθαι· μὴ γὰρ τοῦτο προστάξαι· τὸν οὖν Παύσωνα τοῦ πίνακος τὰ μετέωρα κάτω περιαγαγόντα τῷ παιδὶ τὴν γραφὴν ἐπιδεῖξαι κελεῦσαι, καὶ τὸν ἵππον ἔμπαλιν κείμενον ὀφθῆναι κυλινδούμενον.*

*Ἡδὺς εἶ, ἔφην, Θερσαγόρα, ἂν μίαν οἴῃ με στροφὴν μεμηχανῆσθαι τοσούτων ἐτῶν, ἀλλ' οὐχὶ πάσας στροφὰς καὶ περιαγωγὰς ἐναλλάττοντα καὶ μετατιθέντα δεδιέναι μή τι τελευτῶν*